# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΤΙΜΙΩΝ ΛΕΙΨΑΝΩΝ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΜΦΙΛΟΧΙΟΥ ΤΟΥ ΕΝ ΠΑΤΜΩι

Ἧς ἡ Μνήμη τῇ ΙΘ' Σεπτεμβρίου

Ποιηθεῖσα
ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη, Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ρόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Συνέλθωμεν σήμερον πιστοί, εὐσεβῶς γεραίροντες, τὸν ἱερὸν Ἀμφιλόχιον, Πάτμου τὸ καύχημα, τὸν ἐν τοῖς ὑστέροις, τὸν Θεὸν δοξάσαντα, ὁσίας πολιτείας τοῖς σκάμμασι, καὶ χάριν βλύζοντα, χαρισμάτων ἀπειρόδωρον, ἐκ τῆς θήκης αὐτοῦ τοῖς προστρέχουσιν.

Ω῾ς κρίνα μυρίπνοα ἀγροῦ, ἐκ τοῦ τάφου ὤφθησαν, Πάτερ σοφέ, τὰ ὀστέα σου, κατὰ τὸ λόγιον, εὐωδίαν θείαν, ὑπὲρ φύσιν πνέοντα, ἧς χάριτος Θεός σε ἠξίωσεν, ὁ πολυεύσπλαγχνος· ὃν δυσώπει Ἀμφιλόχιε, τοῦ σωθῆναι, ἡμᾶς τοὺς τιμῶντάς σε.

Ω῾ς ἔχων συμπάθειαν πολλήν, ἴδε Ἀμφιλόχιε, τοὺς προσιόντας ἐκ πίστεως, τῇ τῶν λειψάνων σου, ὑπερτίμῳ θήκῃ, καὶ αὐτοῖς ἑκάστοτε, χορήγει δαψιλῶς τὰ αἰτήματα, πάντων ἰώμενος, ἐνεργείᾳ τῶν θαυμάτων σου, ἀῤῥωστίας ψυχῆς τε καὶ σώματος.

Εὐφραίνεται σήμερον λαμπρῶς, Πάτερ Ἀμφιλόχιε, ἡ θεοσύλλεκτος ποίμνη σου, πανηγυρίζουσα, ἑορτὴν τὴν θείαν, τῶν σεπτῶν λειψάνων σου, καὶ χάριν ἀπαντλοῦσα σωτήριον, ἐκ τούτων Ὅσιε, μεγαλύνει τὸν Φιλάνθρωπον, τὸν ἐν γῇ σε καὶ πόλῳ δοξάζοντα.

Δόξα. Ἦχος β'.

Ο῞σιε Πάτερ Ἀμφιλόχιε, ὡς καθαρὸς τῇ ψυχῇ, παρὰ Κυρίου δοξασθείς, τὰ θεῖά σου λείψανα, ὡς ἰαμάτων πηγήν, τοῖς εὐσεβέσι δέδωκας. Ὅθεν σήμερον αὐτῶν, τὴν ἐκ τοῦ τάφου ἐκκομιδήν, ἐν κατανύξει ἑορτάζοντες,

τὸν ἐν Τριάδι Θεὸν μεγαλύνομεν, τὸν διὰ σοῦ παρέχοντα ἡμῖν, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Λέοντος Δεσπότου.

Σύ μου σκέπη κραταιὰ ὑπάρχεις, ὁ τριμερὴς Σταυρὸς τοῦ Χριστοῦ, ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει καὶ πόθῳ, προσκυνῶ καὶ δοξάζω σε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Τὴν ἀνακομιδήν, τελοῦντες ἐκ τοῦ τάφου, τῶν θείων σου λειψάνων, λαμβάνομεν τὴν χάριν, ἐκ τούτων Ἀμφιλόχιε.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Τέρπεται ἡ Μονή, τῆς τοῦ Ἠγαπημένου, Μητρὸς τὰ λείψανά σου, ὡς θησαυρὸν πλουτοῦσα, ἐν κόλποις Ἀμφιλόχιε.

Στίχ. Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Βρύει ὥσπερ πηγή, τῆς χάριτος τὰ ῥεῖθρα, λειψάνων σου ἡ λάρναξ, πιστῶν εἰς εὐφροσύνην, θεόφρον Ἀμφιλόχιε.

Δόξα. Τριαδικόν.

Δόξα σοι, ὦ Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα· ταῖς τοῦ Ἀμφιλοχίου, πρεσβείαις τὸν λαόν σου, ἐκ πάσης ῥύου θλίψεως.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Χαίροις ὁ τοῦ Χριστοῦ, Σταυρὸς ὁ ζωηφόρος, τὸ τραῦμα τῶν δαιμόνων, πιστῶν ἡ προστασία, καὶ Ἐκκλησίας καύχημα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Σκεῦος οὐρανίων ἀρετῶν, ἐν καιροῖς ἐσχάτοις ἐδείχθης, ἀσκητικῇ βιοτῇ, Πάτερ Ἀμφιλόχιε, τῆς Πάτμου βλάστημα, καὶ τὰ θεῖα ὀστέα σου, πιστοῖς ἐδωρήσω, θησαυρὸν ἀτίμητον, τῶν χαρισμάτων σου· ὧνπερ τὴν ἐκ τάφου ὑμνοῦντες, ἀνακομιδὴν γηθοσύνως, τὸν σὲ ἀναδείξαντα δοξάζομεν.

Βίον διανύσας καθαρόν, εἰς τὸν πλατυσμὸν μετετέθης, τῆς αἰωνίου ζωῆς, Πάτερ Ἀμφιλόχιε, Ὁσίων καύχημα, ἀλλ᾿ ἀεὶ τοῖς λειψάνοις σου, τοῖς ἡγιασμένοις, μεθ᾿ ἡμῶν τῶν τέκνων σου, μένεις μακάριε· ὧνπερ ἑορτάζοντες πίστει, τὴν ἐκκομιδὴν ἐκ τοῦ τάφου, ἐξ αὐτῶν ἰάματα λαμβάνομεν.

Ἴδε συμπαθείᾳ ἐφ᾿ ἡμᾶς, τοὺς τῶν ἱερῶν σου λειψάνων, περικυκλοῦντας σορόν, Πάτερ Ἀμφολόχιε, καὶ τὰ αἰτήματα, ἡμῖν δίδου ἑκάστοτε, κινδύνων παντοίων, νόσων καὶ κακώσεων, πάντας ῥυόμενος· χάριν γὰρ θεόθεν ἐδέξω, τοῦ Εὐαγγελίου τὸν λόγον, ὡς πληρώσας Ὅσιε ἐν βίῳ σου.

Ἕτερα. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Σήμερον ἀγάλλεται, ἡ Ἐκκλησία καὶ χαίρει, ἑορτὴν ὑπέρλαμπρον, Πάτερ Ἀμφιλόχιε, ἑορτάζουσα, τὴν ἐκ τοῦ μνήματος, τῶν σεπτῶν ὀστῶν σου, μακαρίαν ἀνακόμισιν, καὶ μεγαλύνουσα, ἐν φωναῖς αἰσίαις τὸν Κύριον, κηρύττει τὰ θαυμάσια, τῆς ἀγγελικῆς πολιτείας σου, δι᾿ ἧς ἐγνωρίσθης, ἐν χρόνοις τοῖς ὑστέροις ἀληθῶς, Θεοῦ θεράπων οὐράνιος, καὶ πιστῶν διδάσκαλος.

Βίον ἐπουράνιον, πολιτευθεὶς τῇ ἀσκήσει, οὐρανῶν κατῴκησας, Πάτερ Ἀμφιλόχιε, ἐν σκηνώμασι· πλοῦτον δὲ ἔλιπες, ἡμῖν τοῖς ἐν κόσμῳ, τὰ πανέντιμά σου λείψανα, ὧν προσπτυσσόμενοι, ἐν ἀγαλλιάσει τὴν λάρνακα, θαυμάτων σου τῆς χάριτος, τῆς ὑπερφυοῦς ἀπολαύομεν, καὶ δοξολογοῦμεν, Θεὸν τὸν ἐν Ἁγίοις θαυμαστόν, ὃν ἐκτενῶς καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Πάτερ Ἀμφιλόχιε, τῇ ἐν ἀσκήσει ζωῇ σου, τοῦ Ἁγίου Πνεύματος, δαψιλῶς ἀπέλαβες, τὰ χαρίσματα· ὅθεν δοξάζων σε, ὡς ἡγιασμένον, ὁ Θεὸς καὶ μετὰ θάνατον, πηγὴν θεόβρυτον, ἄλλην Σιλωὰμ ἀπειργάσατο, τὴν θήκην τῶν λειψάνων σου, χύδην ἰαμάτων πηγάζουσαν, ἀπαύστως τὰ ῥεῖθρα, εἰς

ἴασιν τραυμάτων τῆς ψυχῆς, καὶ νοσημάτων τοῦ σώματος, ἐκ τῶν προσιόντων σοι.

Δόξα. Ἦχος δ′.

Ὅσιε Πάτερ Ἀμφιλόχιε, νόμῳ θανόντων, ἐν γῇ κατατεθείς, ἐκεῖθεν ὡς ἀστὴρ φωταυγής, διὰ τῶν λειψάνων σου ἀνέτειλας, καὶ τῷ φωτὶ τῶν θαυμάτων σου, τοὺς πιστοὺς λαμπρύνεις ὑπὲρ ἔννοιαν· οὐκ ἔδει σε γὰρ Ἅγιε, τὸν λύχνον ὑπὸ τὸ μόδιον κρύπτεσθαι, ἀλλ᾽ ἐν τῇ λυχνίᾳ τεθῆναι, ὡς ἔφη ὁ δοξάσας σε Κύριος. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, Ἐκκλησιῶν εὐσταθείας, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.
Ἀνατολίου

Φωτολαμπὴς ἀστέρων τύπος, προεδείκνυε Σταυρέ, τρόπαιον νίκης εὐσεβεῖ ἄνακτι τῷ πάνυ· οὗ ἡ μήτηρ Ἑλένη ἀνευραμένη, κοσμοφανῆ πεποίηκε· καὶ σὲ σήμερον ἀνυψοῦντες, τῶν πιστῶν αἱ χορεῖαι κραυγάζομεν· Φώτισον ἡμᾶς τῇ ἐλλάμψει σου, Σταυρὲ ζωηφόρε· ἁγίασον ἡμᾶς τῇ ἰσχύϊ σου, πανσέβαστε Σταυρέ· καὶ κράτυνον ἡμᾶς, τῇ ὑψώσει σου, ὑψούμενος πρὸς παράταξιν ἐχθρῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.
(Κεφ. μθ΄ 28-33)

Εἶπεν Ἰακὼβ τοῖς υἱοῖς αὐτοῦ· Ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν· θάψατέ με μετὰ τῶν Πατέρων μου ἐν τῷ σπηλαίῳ, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου, ἐν τῷ σπηλαίῳ τῷ διπλῷ, τῷ ἀπέναντι Μαμβρῆ, ἐν γῇ Χαναάν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον παρὰ Ἐφρὼν τοῦ Χετταίου ἐν κτήσει μνημείου· ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψαν Ἰσαὰκ καὶ Ῥεβέκκαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψα Λείαν ἐν κτήσει τοῦ ἀγροῦ καὶ τοῦ σπηλαίου τοῦ ὄντος ἐν αὐτῷ παρὰ τῶν υἱῶν Χέτ. Καὶ κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.
(Κεφ. ιγ΄ 19-22)

Ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ἰωσὴφ μεθ᾽ ἑαυτοῦ· ὅρκῳ γὰρ ὥρκισε τοὺς υἱοὺς Ἰσραὴλ λέγων· ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς Κύριος, καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦθεν μεθ᾽ ὑμῶν. Ἐξάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼθ

ἐστρατοπέδευσαν ἐν Ὀθὼμ παρὰ τὴν ἔρημον. Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός· οὐκ ἐξέλιπε δὲ ὁ στῦλος τῆς νεφέλης ἡμέρας καὶ ὁ στῦλος τοῦ πυρὸς νυκτὸς ἐναντίον τοῦ λαοῦ παντός.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Εὐφραίνεται ἐν Κυρίῳ, Ἠγαπημένου τῆς Μητρὸς ἡ Μονή, ἣν ἀγῶσι σὺν πόνοις συνέστησας, καὶ τῆς ἀσκητικῆς πολιτείας, κυπρίζουσαν ἄμπελον ἀνέδειξας, Ὅσιε Πάτερ Ἀμφιλόχιε· ἰδοὺ γὰρ τὴν τιμίαν σου λάρνακα, ὡς μυστικὴν κιβωτὸν ἁγιάσματος, ἐν κόλποις κατέχουσα, ἐκ ταύτης ἀπολαμβάνει, τῆς δεδομένης σοι χάριτος. Ὅθεν ταύτην σήμερον, ἐν ἀγαλλιάσει περικυκλοῦσα, πνευματικῶς πανηγυρίζει, ἐν τῇ ἀνακομιδῇ τῶν λειψάνων σου, καὶ μεγαλύνει τὸν Θεόν, τὸν ἐν τῇ καθ᾿ ἡμᾶς γενεᾷ, ἡγιασμένον σε ἀναδείξαντα.

Ὁ αὐτός.

Θαυμάτων ῥεῖθρα ἀναβλύζων, καὶ ἰαμάτων νάματα προχέων, ἐκ τοῦ τάφου ἀνεκομίσθη, ἡ σορὸς τῶν λειψάνων σου, Ἀμφιλόχιε Πάτερ Ὅσιε· ἐν οὐρανοῖς γὰρ δοξασθείς, ὡς Θεοῦ θεράπων γνησιώτατος, ταύτην ἡμῖν δέδωκας, τὰ σήμαντρα τῆς ἁγιότητος φέρουσαν, καὶ πάντας εὐφραίνουσαν, τῇ εὐωδίᾳ τῆς χάριτος· οὐ γὰρ ἐπαύσω μετὰ πότμον, ὡς πατὴρ στοργικώτατος, τῆς σωτηρίας ἡμῶν προμηθούμενος. Ὅθεν

σήμερον εὐσεβῶς, ἑορτὴν συγκροτοῦντές σοι, τὰ θαυμάσιά σου κηρύττομεν, καὶ δοξάζομεν τὸν Χριστόν, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ἀσκητικῇ συντονίᾳ, εὐαγγελικῶς πολιτευσάμενος, καὶ ὑπὲρ τῆς σωτηρίας τῶν πολλῶν, ἄχρι γήρατος κοπιάσας, ἐν μετοχῇ θεώσεως, τῆς βασιλείας τῶν οὐρανῶν, ἐν αὐλαῖς κατεσκήνωσας· διὸ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, ὡς ἡγιασμένον μακαρίζει σε, καὶ τῶν λειψάνων σου τῇ σορῷ, τιμὴν ὁσίαν ἀπονέμουσα, εὐχαρίστως κραυγάζει σοι· Ἀμφιλόχιε Πάτερ, Μοναζόντων ἀγλάϊσμα, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ὑμνούντων σε.

Ὁ αὐτός.

Ὡς θησαυρὸν πολύτιμον, τῶν δωρεῶν τοῦ Πνεύματος, τὴν θήκην τῶν λειψάνων σου, ὁ ἐπὶ πάντων ἀνέδειξε Θεός, Ἀμφιλόχιε Ὅσιε· σὺ γὰρ ἀσκητικῶς, τῶν ἀρετῶν τοὺς χαρακτῆρας, σεαυτῷ ἐμμορφώσας, τὸ πολίτευμά σου, ἐν οὐρανοῖς ἀπεγράψω, καὶ τῶν ἀπ᾽ αἰῶνος Ἁγίων, τὴν δόξαν ἐκληρονόμησας. Ὅθεν σήμερον οἱ πιστοί, αὐτῇ προσπελάζοντες, ψυχῶν τε καὶ σωμάτων, ἁγιασμὸν λαμβάνομεν, καὶ ἀνυμνοῦμεν τὸν Χριστόν, τὸν ἀθανασίας σε, τῇ δόξῃ δοξάσαντα.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν ἐν Μονασταῖς ἰσάγγελον, καὶ ἐν Ἱερεῦσι θαυμάσιον, Εὐαγγελίου τὸ ἀπάνθισμα, εὐσεβείας τὸν πρόβολον, καὶ μετανοίας διδάσκαλον, Ἀμφιλόχιον μακαρίσωμεν· οὗτος γὰρ ἀρετῶν ἐν ὀχήματι, ὡς Ἠλίας ὁ ζηλωτής, ἁρματηλάτης ἀπὸ γῆς, ἀρθεὶς πρὸς τὰ οὐράνια, ὡς ἄλλην μηλωτὴν κατέλιπεν ἡμῖν, τὴν λάρνακα τῶν λειψάνων αὐτοῦ, ἐνεργοῦσαν τὰ τεράστια. Ὅθεν σήμερον αὐτῇ, πίστει παρεστῶτες, ὁμοφώνως βοήσωμεν· Ὁσιώτατε Πάτερ, μὴ ἐπιλάθῃ τῶν τιμώντων σε, ἀλλὰ πρέσβευε τῷ ἐν Τριάδι Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Δεῦτε λαοί, τὸ παράδοξον θαῦμα καθορῶντες, τοῦ Σταυροῦ τὴν δύναμιν προσκυνήσωμεν· ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησε, τὸ δέ, τὴν ζωὴν ἐξήνθησεν, ἀναμάρτητον ἔχον, προσηλωμένον τὸν Κύριον, ἐξ οὗ πάντα τὰ ἔθνη, ἀφθαρσίαν τρυγῶντες κραυγάζομεν· Ὁ διὰ Σταυροῦ θάνατον καταργήσας, καὶ ἡμᾶς ἐλευθερώσας, δόξα σοι.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Δεῦτε ἱερωτάτην πιστοί, χορείαν πάντες ὁμοφρόνως στησώμεθα, αἰνοῦντες ἐν μιᾷ γλώσσῃ, τὸν ἐν Τριάδι Θεόν, τὸν ἐν τοῖς Ἁγίοις δοξαζόμενον· αὐτὸς γὰρ ὡς εὔσπλαγχνος, ἐν ἐσχάτοις ἀνέδειξε, τῇ Ἐκκλησίᾳ, εὐσεβείας ἐκφάντορα, καὶ διδάσκαλον, τὸν σοφὸν Ἀμφιλόχιον· οὗπερ τῇ θείᾳ λάρνακι, πιστῶς προσπελάζοντες, καὶ ὑποκλίνοντες ταύτῃ, ἐν κατανύξει τὰ γόνατα, λαμβάνομεν χύδην, δωρεὰς τὰς σωτηρίους, τῆς θείας χάριτος.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Χαίροις τῶν Μοναζόντων κανών, καὶ Ἱερέων χαρακτὴρ καὶ παράδειγμα, ὁ βίῳ ἡγιασμένῳ, τῆς βασιλείας λαβών, παρὰ τοῦ Κυρίου τὸ δηνάριον· Χριστοῦ ὁ τὰ λόγια, ἐν ἐσχάτοις τοῖς ἔτεσι, πιστῶς πληρώσας, καὶ διδάσκαλος πάνσοφος, πρὸς εὐσέβειαν, τοῖς ἀνθρώποις γενόμενος. Πάντων οὖν Ἀμφιλόχιε, τῶν πόθῳ ὑμνούντων σε, καὶ προσιόντων τῇ θήκῃ, τῶν παναγίων λειψάνων σου, τῇ σῇ ἀντιλήψει, βοηθὸς καὶ ἀντιλήπτωρ, ἐν βίῳ φάνηθι.

Στίχ. Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαίρει πνευματικῶς ἡ Μονή, Ἠγαπημένου τῆς Μητρός, Ἀμφιλόχιε, ἐν κόλποις τῶν σῶν λειψάνων, τὴν παναγίαν σορόν, ὥσπερ πλοῦτον θεῖον θησαυρίζουσα· ἐν ταύτῃ γάρ, Ὅσιε, ἡ σωτήριος χάρις σου, θείᾳ προνοίᾳ, ἀνεκφοίτητος μένουσα, τῶν θαυμάτων σου, ἐνεργεῖ τὰ παράδοξα, πάντας ἀεὶ εὐφραίνουσα, τοὺς πίστει προστρέχοντας, καὶ μεγαλύνοντας, Πάτερ, τὸν σὲ δοξάσαντα Κύριον. Αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Εὐαγγελικῶς πολιτευσάμενος, καὶ τῶν πάλαι Ὁσίων, τὸν βίον ἰχνηλατίσας, τῆς εὐκταίας φωνῆς, τοῦ Δεσπότου κατηξίωσαι, Ἀμφιλόχιε Πάτερ Ὅσιε· διὸ αὐτὸς καὶ τὰ λείψανά σου, Πνεύματι Ἁγίῳ καθηγίασεν, ἐκφαίνοντα ἡμῖν, τὴν δόξαν τῆς αἰωνίου ζωῆς. Ὅθεν σήμερον αὐτῶν, τὴν ἐκ τάφου κομιδὴν ἑορτάζοντες, ἐξ αὐτῶν δωρεάς, θαυμάτων κομιζόμεθα, καὶ μεγαλύνομεν Θεόν, τὸν θαυμαστὸν ἐν σοί, παμμακάριστε.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἰωάννου Μοναχοῦ

Ὃν περ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο, καὶ Δαυΐδ ὁ μελῳδός, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο, τίμιον Σταυρόν σου, Χριστὲ ὁ Θεός, σήμερον ἁμαρτωλοὶ προσκυνοῦντες χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε, σὺν τῷ Ληστῇ τῆς βασιλείας σου ἀξίωσον ἡμᾶς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Λειψάνων σου τιμίων, τὴν λάρνακα κυκλοῦντες, ἀνακομιδῆς σου τὴν μνήμην, φαιδρῶς ἐπιτελοῦμεν, καὶ χάριν θαυμάτων ἐξ αὐτῆς, λαμβάνοντες εἰς ἴασιν παθῶν, Ἀμφιλόχιε, ὑμνοῦμέν σε οἱ πιστοί, κραυγάζοντες γηθοσύνως· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Τὸ τῆς Ἑορτῆς καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἐπέφανεν ἰδού, εὐφροσύνης ἡμέρα, ἡ ἀνακομιδή, τῶν σεπτῶν σου λειψάνων, καὶ ταύτην ἑορτάζοντες, οἱ πιστοὶ ἐκβοῶμέν σοι· Ἀμφιλόχιε, θεομακάριστε Πάτερ, καθικέτευε, τὸν σὲ δοξάσαντα Λόγον, ὑπὲρ τῶν ὑμνούντων σε.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἁπλώσας ἐν Σταυρῷ, τὰς παλάμας Οἰκτίρμον, τὰ ἔθνη τὰ μακράν, ἀπὸ σοῦ γεγονότα, συνήγαγες δοξάζειν σου, τὴν πολλὴν ἀγαθότητα· ἀλλ᾽ ἐπίβλεψον, ἐπὶ τὴν σὴν κληρουχίαν, καὶ κατάβαλε, τοὺς καθ᾽ ἡμῶν πολεμίους, Σταυρῷ τῷ τιμίῳ σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀκολουθήσας ἐκ παιδὸς τῷ Κυρίῳ, καὶ ἀρεταῖς ἀσκητικαῖς διαπρέψας, ἐν οὐρανοῖς κατέπαυσας, τῶν κάτω μεταστάς, ἡμῖν δὲ κατέλιπες, τὰ σεπτὰ

λείψανά σου, θαυμαστῶς ἐκφαίνοντα, οἵας ἔτυχες δόξης, καὶ τοῖς πιστοῖς παρέχοντα ἀεί, χάριτος δόσεις, σοφὲ Ἀμφιλόχιε.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ἐν Παραδείσῳ με δεινῶς πεπτωκότα, τοῦ βροτοκτόνου τῇ πικρᾷ συμβουλίᾳ, ἐν τῷ Κρανίῳ πάλιν ἐξανέστησας Χριστέ, ξύλῳ ἰασάμενος, τὴν τοῦ ξύλου κατάραν, κτείνας τὸν ἀπάτη με, θανατώσαντα ὄφιν, καὶ ἐδωρήσω θείαν μοι ζωήν. Δόξα τῇ θείᾳ Σταυρώσει σου Κύριε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὰ θεῖά σου λείψανα, ὡς θησαυρὸν τιμαλφῆ, ἐν κόλποις κατέχουσα, ἡ εὐαγής σου Μονή, σοφὲ Ἀμφιλόχιε, αἴνεσιν ἀναπέμπει, τῷ Κυρίῳ καὶ δόξαν, ὅτι ἀνέδειξέ σε, ἐν καιροῖς τοῖς ἐσχάτοις, φωστῆρα τῶν πιστῶν ἀπλανῆ, καὶ θεῖον διδάσκαλον.

Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ἐν σοὶ τρισμακάριστε, καὶ ζωοδότα Σταυρέ, λαοὶ εὐωχούμενοι, πανηγυρίζουσι νῦν, ἀΰλων σὺν τάγμασι· τάξεις Ἀρχιερέων, εὐσεβῶς ἀνυμνοῦσι· πλήθη τῶν Μοναζόντων, εὐλαβῶς προσκυνοῦσι· Χριστὸν δὲ τὸν σταυρωθέντα, πάντες δοξάζομεν.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Εὐαγγέλιον, ζήτει τῇ ιζ' Ἰανουαρίου.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε Πάτερ, Ἀμφιλόχιε μακάριε, θαυματόβρυτον πηγήν, τὴν σορὸν τῶν λειψάνων σου, ὁ Θεὸς ἀνέδειξε, θαύματα ἐνεργοῦσαν, πάθη

ἀποσοβοῦσαν, καὶ νοσήματα διώκουσαν. Ὅθεν ἡμῖν τοῖς προστρέχουσι, τὰς δωρεάς σου ἀφθόνως χορήγει, καὶ ῥύου τὴν ζωὴν ἡμῶν, ἐκ πάσης ἐπιβουλῆς καὶ θλίψεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, ὁ τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς στʹ, καὶ ὁ τοῦ Ὁσίου ὁμοίως εἰς στʹ. Κανὼν τοῦ Ὁσίου, φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Κυρίλλου».

Ὠιδὴ αʹ. Ἦχος πλ. δʹ. Ἁρματηλάτην Φαραώ.

Τοῦ ἀνεσπέρου φωτισμοῦ πληρούμενος, ἐν ταῖς αὐλαῖς τῆς ζωῆς, καὶ κοινωνῶν δόξης, τῆς ὑπὲρ κατάληψιν, τῇ γλώττῃ λόγον αἴτει μοι, εὐφημῆσαι τολμῶντι, τὴν ἀπὸ γῆς τῶν Λειψάνων σου, ἀνακομιδήν, Ἀμφιλόχιε.

Τοῖς ἐν ἀσκήσει κραταιοῖς ἀγῶσί σου, ὡς καθαγνίσας τὸν νοῦν, τῆς θεογνωσίας, Πάτερ Ἀμφιλόχιε, ἐπλήσθης τοῖς χαρίσμασι, καὶ διδάσκαλος θεῖος, τῷ Ὀρθοδόξῳ πληρώματι, χάριτι Θεοῦ, πεφανέρωσαι.

Α᾿πὸ νεότητος Θεῷ ἑπόμενος, τῶν ἀρετῶν φωταυγές, ἀνεδείχθης σκεῦος, Πάτερ Ἀμφιλόχιε· διὸ ἐκληρονόμησας, τὴν ἀείζωον δόξαν, καὶ ἐκ τῶν θείων Λειψάνων, βλύζεις τοῖς πιστοῖς χάριν ἄφθονον.

Ω῾ς ἁγιάσματος πηγὴν τὴν λάρνακα, περικυκλοῦντες τὴν σήν, μακαρίζομέν σε, Πάτερ Ἀμφιλόχιε· ἐκ ταύτης γὰρ τὰ νάματα, τῶν θαυμάτων πηγάζεις, καὶ θεραπεύεις νοσήματα, ἐκ τῶν εὐσεβῶς προσιόντων σοι.

Η᾿γαπημένου τῆς Μητρὸς γεραίρει σε, ἡ ἐν τῇ Πάτμῳ Μονή, μυροθήκην Πάτερ, τὴν σορόν σου ἔχουσα, ἐκχέουσαν τοῦ Πνεύματος, τὴν τερπνὴν εὐωδίαν, διηνεκὲς εἰς μαρτύριον, οἵας ἐκ Θεοῦ δόξης ἔτυχες.

Θεοτοκίον.

Καινοτομοῦνται Μαριὰμ Πανάχραντε, νόμοι ἐν σοὶ ἀληθῶς· σὺ γὰρ ἀπειράνδρως, τοῦ Πατρὸς συνέλαβες, τὸν Λόγον ἐν κοιλίᾳ σου, καὶ παρθένος ἐν τόκῳ, καὶ μετὰ τόκον διέμεινας· ὢ τῶν ὑπὲρ νοῦν μεγαλείων σου!

Ὠιδὴ γʹ. Ὁ στερεώσας κατ᾿ ἀρχάς.

Καταφρονήσας ὁλικῶς, τῶν ἐπὶ γῆς φθειρομένων, Μοναζόντων ἐνεδύσω τὸ σχῆμα, καὶ ἐβίωσας ἐν γῇ, ὁσίως Ἀμφιλόχιε· διὸ καὶ ἐδοξάσθης, ἐπουρανίοις χαρίσμασιν.

Ἀ̓κολουθήσας τῷ Χριστῷ, ἐκ νεαρᾶς ἡλικίας, τῇ ἀσκήσει θεοφόρος ἐδείχθης, Ἀμφιλόχιε σοφέ, καὶ τῶν πιστῶν διδάσκαλος, αὐτοὺς καθοδηγήσας, πρὸς εὐσεβείας ἐπίδοσιν.

Νόμῳ θανόντων ὑπὸ γῆν, κατατεθεὶς τῷ σαρκίῳ, τοῖς τιμίοις σου λειψάνοις ἐκεῖθεν, Ἀμφιλόχιε σοφέ, καὶ πάλιν ἐπεδήμησας, τῇ λογικῇ σου ποίμνῃ, αὐτῇ βραβεύων τὰ κρείττονα.

Ἐ̓κ τῆς σοροῦ σου τὰς πηγάς, ποταμηδὸν ἀναβλύζων, τῶν θαυμάτων, Ἀμφιλόχιε μάκαρ, καταρδεύεις μυστικῶς, τὸν Ἰσραὴλ τῆς χάριτος, Χριστοῦ τὴν Ἐκκλησίαν, ἐν ἐγκωμίοις τιμῶσάν σε.

Ἠ̓γαπημένου τῆς Μητρός, ἐν τῇ Μονῇ ἡ σὴ λάρναξ, ὥσπερ λύχνος ἐν λυχνίᾳ τεθεῖσα, Ἀμφιλόχιε σοφέ, ἐκεῖθεν τῶν χαρίτων σου, τὸ φῶς ἐξανατέλλει, τῆς Ἐκκλησίας τοῖς πέρασιν.

Θεοτοκίον.

Ὑ̔περφυῶς τὸν τοῦ Πατρός, Λόγον ἐν χρόνῳ τεκοῦσα, μητρικῇ σου παῤῥησίᾳ δυσώπει, αὐτόν, Μῆτερ, ἐκτενῶς, ἵνα τὸ πῦρ ἐκφύγωμεν, τῆς ζοφερᾶς γεέννης, οἱ προσκυνοῦντες τὸν τόκον σου.

Κάθισμα. Ἦχος αʹ. Τὸν τάφον σου.

Ζωῆς τῆς ὑπὲρ νοῦν, ὡς πανεύοσμα ῥόδα, ὑπάρχουσιν ἡμῖν, τὰ σεπτὰ λείψανά σου, θεόφρον Ἀμφιλόχιε, τῶν Ἀγγέλων συνόμιλε, οἷς προστρέχοντες, τὴν μυστικὴν εὐωδίαν, ὀσφραινόμεθα, τῶν πολλαπλῶν σου χαρίτων, Θεὸν μεγαλύνοντες.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ἄνω ὡς Θεός, οὐρανὸν θρόνον ἔχων, καὶ γῆν Χριστὲ Σωτήρ, ὑποπόδιον φέρων, Σταυρὸν ἡμῖν ὑπέδειξας, σῶν ποδῶν ὑποπόδιον. Τοῦτον ἅπαντες, δαυϊτικῶς προσκυνοῦμεν· τοῦτον φύλακα, καὶ βοηθὸν ἐξαιτοῦμεν, καὶ πίστει δοξάζομεν.

Ὠιδὴ δʹ. Σύ μου ἰσχύς.

Τῶν Μοναστῶν, ἔμψυχον ὤφθης παράδειγμα, Ἱερέων, τύπος ἐχρημάτισας, καὶ τῶν θελόντων δι᾽ ἀρετῆς, τῷ Θεῷ δουλεύειν, σοφὸς ἐγένου διδάσκαλος, δι᾽ ἔργων σου καὶ λόγων, Ἀμφιλόχιε Πάτερ, ῥητορεύσας τὸν λόγον τῆς πίστεως.

Ε᾽ν τῇ Μονῇ, τοῦ Θεολόγου διέπρεψας, ὡς θεράπων, τοῦ Θεοῦ πιστότατος, καὶ εὐδοκίᾳ τῇ θεϊκῇ, αὐτῆς ἀνεδείχθης, οἰακοστρόφος πολύπειρος, ἐν χρόνοις δυσχειμέροις, δυναστῶν ἀλλοδόξων, τῆς δουλείας, σοφὲ Ἀμφιλόχιε.

Ἤρθης ἐκ γῆς, ταῖς ἀρεταῖς ἐποχούμενος, πρὸς τὸ θεῖον, ὕψος τῆς θεώσεως· τοῖς δὲ λειψάνοις σου μεθ᾽ ἡμῶν, τῶν πιστῶν σου τέκνων, μένεις ἀεί, Ἀμφιλόχιε· διό σε εὐφημοῦμεν, κατὰ χρέος ἐν ὕμνοις, ὡς πατέρα ἀγάπης ἀνάπλεων.

Θύσας σαυτόν, θῦμα Κυρίῳ εὐπρόσδεκτον, τῇ ἀσκήσει, Πάτερ Ἀμφιλόχιε, ἀντιμισθίαν ἐν οὐρανοῖς, ἄφθαρτον ἐκτήσω, ὡς ἡ σορὸς τῶν λειψάνων σου, κηρύττει ἀσιγήτως, ἀπελαύνουσα πάθη, ἐξ ἀνθρώπων ψυχῆς τε καὶ σώματος.

Α᾽πὸ τῆς γῆς, εὐωδιάζοντα ὤφθησαν, τὰ ὀστᾶ σου, Πάτερ Ἀμφιλόχιε, ἃ θησαυρίζουσα τῆς Μητρός, τοῦ Ἠγαπημένου, νῦν ἡ Μονὴ ἐπαγάλλεται· αὐτὴν οὖν μὴ ἐλλίπῃς, ταῖς εὐχαῖς σου στηρίζων, καὶ φυλάττων ἀπαύστως ἐκ θλίψεων.

Θεοτοκίον.

Ρ῾άβδῳ τῆς σῆς, ὑπερφυοῦς ἀντιλήψεως, σωτηρίας, πρὸς νομάς με ἴθυνον, τὸν πλανηθέντα, Μῆτερ Ἁγνή, ἐν ταῖς ἀνοδίαις, τῶν φιληδόνων ὀρέξεων· σὲ γὰρ ἐπικαλοῦμαι, τὴν ἀμόλυντον νύμφην, τοῦ Θεοῦ καὶ Δεσπότου τῆς κτίσεως.

Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Τῇ ἐκκομιδῇ, ἐκ τοῦ τάφου τῶν λειψάνων σου, συγκροτήσαντες νῦν πόθῳ ἑορτήν, οἱ πιστοί σε εὐφημοῦμεν, Ἀμφιλόχιε.

Χαίρεις τὴν χαράν, ἐν ὑψίστοις τὴν ἀτέρμονα, φυτοκόμος χρηματίσας ἀρετῶν, ἐν τῷ κόσμῳ θεοφόρε Ἀμφιλόχιε.

Ἄνωθεν λαβών, Παρακλήτου τὴν ἐνέργειαν, ἐνεούργησας ἀνθρώπων τὰς ψυχάς, διδαχῶν σου τῷ ἀρότρῳ, Ἀμφιλόχιε.

Χάρις τοῦ Θεοῦ, ἡ σκηνοῦσα ἐν τῇ θήκῃ σου, σωτηρίαν ἀπεργάζεται ψυχῶν, καὶ σωμάτων θεραπείαν, Ἀμφιλόχιε.

Ε῎σο βοηθός, ἀντιλήπτωρ καὶ ὑπέρμαχος, εὐπροσδέκτοις σου εὐχαῖς πρὸς τὸν Θεόν, τῇ Μονῇ σου εἰς αἰῶνας, Ἀμφιλόχιε.

Θεοτοκίον

Ι῎δε συμπαθῶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, καὶ παράσχου μοι ὑγείαν σταθηράν, ἡ τὸν μέγαν ἰατρὸν Χριστὸν κυήσασα.

Ὠιδὴ στʹ. Ἱλάσθητί μοι Σωτήρ.

Σαρκὸς νεκρώσας ὁρμάς, ἀσκητικοῖς ἀγωνίσμασι, ἁγιωσύνης φαιδρόν, ἐπώφθης ἀνάκτορον· σὺ γὰρ Ἀμφιλόχιε, τῷ Θεῷ ἐν φόβῳ, ἐκ νεότητος ἐδούλευσας.

Α᾽ράμενος τὸν Σταυρόν, ὑπερμεγέθεις διήνυσας, ἀγῶνας ἐπὶ τῆς γῆς, καὶ πᾶσαν ἐνίκησας, δαιμόνων ἐπίθεσιν, ἐν Χριστοῦ τῷ κράτει, θεομάκαρ Ἀμφιλόχιε.

Λειψάνων σου ἡ σορός, ὡς ἰατρεῖον ἀδάπανον, ἀσθενειῶν χαλεπῶν, ἰᾶται τοὺς πάσχοντας, σοφὲ Ἀμφιλόχιε, καὶ ἐχθρῶν διώκει, ἀοράτων τὴν ἐνέργειαν.

Λειψάνων σου ἱερῶν, τὴν ἐκ τοῦ τάφου γεραίροντες, πιστῶς ἀνακομιδήν, σοφὲ Ἀμφιλόχιε, τῶν σῶν ἀντιλήψεων, τὴν μεγίστην χάριν, ἐκδεχόμεθα οἱ ἄθλιοι.

Ε᾽χέγγυον ἀληθές, τῆς κραταιᾶς προστασίας, Μονή σου ἡ εὐαγής, τὴν θήκην σου ἔχουσα, σοφὲ Ἀμφιλόχιε, ἐξ αὐτῆς λαμβάνει, εὐλογίας σου δωρήματα.

Θεοτοκίον.

Λαμπὰς ἡ φωτολαμπής, τοῦ μυστικοῦ ἀπαυγάσματος, τὸν φωτισμὸν τοῦ ἐκ σοῦ, ἀδύτως ἐκλάμψαντος, ἀνάτειλον Πάναγνε, τῇ ἐσκοτισμένῃ, ἐν τοῖς πάθεσι καρδίᾳ μου.

Κοντάκιον. Ἦχος πλ. δʹ. Τῷ φαεινῷ σου βίῳ.

Α᾽σκητικοῖς ἀγῶσι, φαιδρύνας τὸν βίον σου, πρὸς οὐρανῶν ἀνέπτης, ἀθάνατον εὔκλειαν, τῷ ἀκτίστῳ τῆς θεαρχίας, προσομιλῶν, φωτὶ

Ἀμφιλόχιε· πρέσβευε ὑπὲρ ἡμῶν, τῶν προσπτυσσομένων, τὰ θεῖά σου λείψανα.

Ὁ Οἶκος.

Εὐφραίνεται Ἐκκλησίας, τὸ πλήρωμα τῇ σῇ δόξῃ, καὶ μεγαλῦνον Θεόν, ἀγαλλιάσει σοι ἀνακράζει· Πάτερ θεόφρον, Ἀποστόλων κοινωνέ, Ὁσίων ὁμόσκηνε, καὶ Δικαίων σύσκηνε, Ἀμφιλόχιε θαυμαστέ, ἐν οὐρανοῖς χορεύων, Χριστῷ παριστάμενος, μνημονεύων μὴ παύσῃ καὶ ἡμῶν, τῶν προσφερόντων σοι ὕμνους, καὶ προσπτυσσομένων, τὰ θεῖά σου λείψανα.

Μηνολόγιον.

Τῇ ΙΘ′ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Ἀνακομιδῆς τῶν τιμίων Λειψάνων τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀμφιλοχίου, τοῦ ἐν Πάτμῳ.

Στίχοι.

Εὐωδίαν πνέοντα ζωῆς τῆς θείας,
Ἐκ τοῦ τάφου ὤφθησαν τὰ λείψανά σου.
Ἀμφιλοχίοιο δεκάτῃ ἐνάτῃ φαάνθησαν ὀστέα γῆθεν.

Συναξάριον.

Οὗτος ὁ νέος ἐν Ὁσίοις Πατὴρ ἡμῶν Ἀμφιλόχιος κεκοίμηται τὸν Δικαίοις πρέποντα ὕπνον τῇ ιστ′ Ἀπριλίου τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ καὶ ἑβδομηκοστοῦ σωτηρίου ἔτους καὶ ἐτάφη ἐν τῇ ὑπ᾿ αὐτοῦ συσταθείσῃ ἐν Πάτμῳ σεβασμίᾳ Μονῇ τοῦ Εὐαγγελισμοῦ τῆς Μητρὸς τοῦ Ἠγαπημένου. Σήμερον δὲ ἐπιτελοῦμεν τὴν μνήμην τῆς ἐκ τοῦ τάφου σεπτῆς ἀνακομιδῆς τῶν χαριτοβρύτων αὐτοῦ λειψάνων, ἥτις ἐγένετο τῇ ιθ′ τοῦ μηνὸς Σεπτεμβρίου, ἐν ἔτει χιλιοστῷ ἐνακοσιοστῷ καὶ ὀγδοηκοστῷ, παρεστώτων τῶν Ἀρχιερέων Ῥόδου Σπυρίδωνος, Κρήτης Τιμοθέου, καὶ Λέρου, Καλύμνου καὶ Ἀστυπαλαίας Ἰσιδώρου, τοῦ Καθηγουμένου τῆς ἐν Πάτμῳ Μονῆς τοῦ Θεολόγου Ἀρχιμανδρίτου Ἰσιδώρου, τῶν τε Μοναζόντων τῆς Μεγάλης Μονῆς καὶ τῶν Μοναζουσῶν τῆς ὡς ἄνω ἱερᾶς Μονῆς, σὺν τῷ ἱερῷ Κλήρῳ, καὶ τῶν ἐκ πλείστων τόπων συνδραμόντων ἐν τῇ νήσῳ πνευματικῶν αὐτοῦ τέκνων.

Ὅτε δὲ ἠνεῴχθη ὁ τάφος εὐωδία ἄῤῥητος, ὡς ὀσμὴ μύρων καὶ ἀρωμάτων πολλῶν, ἐκεῖθεν ἐξέδραμε, ἐφάνησαν δὲ τὰ ὀστέα αὐτοῦ κροκοβαφῆ τῇ θέᾳ καὶ τῆς ἁγιότητος τὰ σήμαντρα φέροντα· εὐλαβῶς δὲ ἀνακομισθέντα ἐκεῖθεν κατετέθησαν τῇ εἰρημένῃ εὐαγεῖ τοῦ Εὐαγγελισμοῦ Μονῇ θαύματα ἀναπηγάζοντα τοῖς ἐν εὐλαβείᾳ προσερχομένοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος.

Στίχοι.
Πνέοντες ἓν Τρόφιμε καὶ Δορυμέδον,
Ἓν ἐκ ξίφους δέχεσθε καὶ βίου τέλος.

Ξεσθεὶς σιδηροῖς Σαββάτιος ὀξέσιν,
Εἰς σαββατισμὸν θεῖον ὡς Μάρτυς φθάνει.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ΄. Παῖδες Ἑβραίων.

Στῦλος ὠράθης φωτοφόρος, ἐγκρατείᾳ σου σαφῶς προσομιλήσας, Παρακλήτου πυρί, καὶ Μοναστῶν ἡγήσω, βοώντων, Ἀμφιλόχιε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὅλος τῷ θείῳ συνεκράθης, Ἀμφιλόχιε, φωτὶ ταῖς ἀρεταῖς σου, καὶ ἀνέτειλας φῶς, ἀνέσπερον τῷ κόσμῳ, τῶν εὐσεβῶς τιμώντων σε, τὰς πορείας καταυγάζων.

Πάντες ἐκ πόθου προσιόντες, Ἀμφιλόχιε, τοῖς θείοις σου λειψάνοις, πειρασμῶν, συμφορῶν, κινδύνων, νοσημάτων, καὶ θλίψεων ῥυόμεθα· διὸ ὕμνοις σε τιμῶμεν.

Δεῦτε τῇ θήκῃ τοῦ Ὁσίου, μετὰ πίστεως θερμῆς ὑποκλιθῶμεν, ἐκβοῶντες αὐτῷ· Ἡγιασμένε Πάτερ, τῶν τέκνων σου μνημόνευε, ἑορτήν σοι συγκροτούντων.

Χάριν καὶ ῥῶσιν καὶ εἰρήνην, Ἀμφιλόχιε, τῇ ποίμνῃ σου χορήγει, καυχωμένῃ τοῖς σοῖς, λειψάνοις καὶ βοώσῃ· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Λάμπρυνον, Μῆτερ, τὴν ψυχήν μου, τῆς σῆς χάριτος ἀπλέτῳ φωταυγείᾳ, ἡ τοῦ κόσμου τὸ φῶς, Χριστὸν τὸν ζωοδότην, ὑπερφυῶς κυήσασα, εἰς ἀνθρώπων σωτηρίαν.

Ὠιδὴ η΄. Τὸν Βασιλέα.

Τῆς ὀπτασίας, τῆς μυστικῆς ἠξιώθης, Ἀμφιλόχιε, εὐχόμενος ἀπαύστως· διὸ καὶ δοξάζει, Θεὸς τὸ λείψανόν σου.

Ψυχῆς τὸ σκάφος, ἀσκητικῶς προσορμίσας, Ἀμφιλόχιε, Κυρίου τῷ λιμένι, θεώσεως θείας, γαλήνης ἀπολαύεις.

Τὰ ὀλβιοῦντα, πιστοὺς χαρίσμασι πλείστοις, Ἀμφιλόχιε θεόφρον, λείψανά σου, τιμῶμεν αἰνοῦντες, τὸν θαυμαστώσαντά σε.

Μέμνησο πάντων, παρεστηκὼς τῷ Δεσπότῃ, Ἀμφιλόχιε, τῶν σὲ ὑμνολογούντων, καὶ ἀσπαζομένων, λειψάνων τὴν κόνιν.

Ἠγαπημένου, Μητρὸς Μονὴν τὴν ἁγίαν, Ἀμφιλόχιε, συντήρει εἰς αἰῶνας, ἁγιαζομένην, τιμίοις σου λειψάνοις.

Θεοτοκίον.

Ὅλον με πλῆσον, τῆς θεαυγοῦς χάριτός σου, ἀπελαύνουσα τὸ σκότος τῶν παθῶν μου, ἵνα σε γεραίρω, τὴν Κεχαριτωμένην.

Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Τῆς χάριτος δι᾿ ἔργων ἀσκητικῶν, στολισθεὶς τὸ λευκόχρουν ἱμάτιον, εἰς τῆς ζωῆς, ἔδραμες νυμφῶνα τὸν φωτεινόν, ἔνθα Χριστῷ παρίστασαι, μνημονεύων πάντοτε τῶν πιστῶς, τιμώντων σου τὴν θήκην, ὀστέων τῶν ἁγίων, Θεοῦ θεράπον Ἀμφιλόχιε.

Ἐμπράκτου θεωρίας κλῖμαξ σεπτή, μυστικῶς ἀνεδείχθη ὁ βίος σου· σὺ γὰρ σοφέ, τῷ Θεῷ ὡμίλησας δι᾿ αὐτῆς, καὶ παρ᾿ αὐτοῦ ἀπέλαβες, χάριν τὴν μεγίστην θαυματουργεῖν, ψυχῶν εἰς σωτηρίαν, τῶν κατασπαζομένων, τὴν λάρνακά σου, Ἀμφιλόχιε.

Ἠλίαν τὸν Θεσβίτην ἀσκητικῶς, μιμησάμενος, ζήλῳ τῷ βίῳ σου, παρὰ Θεοῦ, ἔλαβες πλουσίως τὴν δωρεάν, ἀποσοβεῖν νοσήματα, καὶ ἰᾶσθαι πάθη παντοειδῆ, ψυχῶν τε καὶ σωμάτων, ἐκ τῶν προσερχομένων, τῇ λάρνακί σου Ἀμφιλόχιε.

Μητρὸς Ἠγαπημένου ἡ εὐαγής, μακαρίζει σε Μάνδρα χορεύουσα, τῇ ἱερᾷ, σήμερον ἐκ τάφου ἐκκομιδῇ, λειψάνων σου τῆς κόνεως, ἑορτὴν κροτοῦσα πνευματικήν· αὐτὴν οὖν οὐρανόθεν, ἐν σπλάγχνοις φιλοστόργοις, ἀεὶ εὐλόγει, Ἀμφιλόχιε.

Ὁσίων συνεκλάμπων ἐν οὐρανοῖς, τῷ χορῷ ὡς ἐκείνων ὁμότιμος, καὶ τῷ Θεῷ, δόξῃ ἀθανάτῳ παρεστηκώς, ταύτην ὡς εὐμενέστατος, τῶν ᾀσμάτων δέξαι τὴν προσφοράν, καὶ δίδου τῇ ψυχῇ μου, εἰρήνην ταῖς εὐχαῖς σου, Ὅσιε Πάτερ Ἀμφιλόχιε.

Θεοτοκίον.

Ὑπέραγνε Παρθένε τὸν Λυτρωτήν, ἀπειράνδρως ἐν χρόνῳ ἐκύησας, ὥσπερ τὸ πρίν, Πνεύματι Ἁγίῳ οἱ θαυμαστοί, Προφῆται προεκήρυξαν· ὅθεν σου δεόμεθα ἐκτενῶς· Μὴ παύσῃ δυσωποῦσα, αὐτὸν Θεοκυῆτορ, τοῦ ἐλεῆσαι τοὺς ὑμνοῦντάς σε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Λειψάνων σου τὴν λάρνακα, κυκλοῦντες, Ἀμφιλόχιε, καὶ ἀσπαζόμενοι ταῦτα, ἐν κατανύξει βοῶμεν· Τῇ χάριτί σου πρόφθασον, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, καὶ ῥῦσαι πάντας, Ὅσιε, ἐκ πειρασμῶν καὶ κινδύνων, καὶ νοσημάτων παντοίων.

Ἕτερον. Ὅμοιον.

Ἡ Μάνδρα σου ἀγάλλεται, λειψάνοις τοῖς τιμίοις σου, καὶ ὡς Πατρὶ φιλοτέκνῳ, κραυγάζει σοι παῤῥησίᾳ· Θεόφρον Ἀμφιλόχιε, ἡγιασμένε Ὅσιε, μὴ παύσῃ τῶν τεκνίων σου, ἐν ταῖς ἁγίαις εὐχαῖς σου, πρὸς τὸν Θεὸν μνημονεύων.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Σταυρὸς ὑψοῦται σήμερον, καὶ κόσμος ἁγιάζεται· ὁ γὰρ Πατρὶ συνεδρεύων, καὶ Πνεύματι τῷ Ἁγίῳ, ἐν τούτῳ χεῖρας ἁπλώσας, τὸν κόσμον ὅλον εἵλκυσας, πρὸς σήν, Χριστέ, ἐπίγνωσιν· τοὺς οὖν εἰς σὲ πεποιθότας, θείας ἀξίωσον δόξης.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ′. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ἀσκητικαῖς ἀγωγαῖς, θησαυρίσας τὴν ἔλλαμψιν, τοῦ Ἁγίου Πνεύματος, ἱερὲ Ἀμφιλόχιε, ἐκ τῶν τιμίων ἡμῖν λειψάνων σου, ἐξανατέλλεις τὸ φῶς τῆς χάριτος· ὧν ἑορτάζοντες, τὴν ἐκ τάφου σήμερον ἐκκομιδήν, μέλπομεν τοῦ βίου σου, τὰ κατορθώματα.

Πάτερ σοφὲ Ἀμφιλόχιε, ἀφορισθεὶς εὐσεβῶς, τῷ Θεῷ ἐκ νεότητος, ἡδονὰς τοῦ σώματος, θεοφρόνως ἐμίσησας, καὶ τῇ ἀσκήσει ἐκαρποφόρησας, τῆς αἰωνίου ζωῆς τὴν εὔκλειαν. Ὅθεν ἱκέτευε, τὴν Τριάδα, Ὅσιε, ὑπὲρ ἡμῶν, τῶν ἀσπαζομένων σου, πιστῶς τὴν λάρνακα.

Πλοῦτον ὥσπερ μέγαν ἔχουσα, Ἠγαπημένου Μητρός, ἡ Μονὴ ἡ ἐξάκουστος, τῶν σεπτῶν λειψάνων σου, τὴν σορόν, Ἀμφιλόχιε, Χριστὸν δοξάζει, τὸν ἀναδείξαντα, ἡγιασμένον, ἐν τοῖς ἐσχάτοις σε, καὶ ἀνακράζει σοι· Ὡς πατὴρ φιλόστοργος μεῖνον ἀεί, μετὰ τῶν τεκνίων σου, τῇ ἀντιλήψει σου.

Πάτερ σοφὲ Ἀμφιλόχιε, τῇ μυριπνόῳ σορῷ, τῶν τιμίων λειψάνων σου, παρεστῶτες σήμερον, εὐσεβῶς σοι κραυγάζομεν· Ἐν συμπαθείᾳ θερμῇ ἐπίβλεψον, ἡμᾶς ὑψόθεν, καὶ δίδου ἅπασι, ταῖς μεσιτείαις σου, πρὸς τὸν σὲ δοξάσαντα Θεὸν ἡμῶν, τὴν εἰρήνην, Ὅσιε, καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος α΄.

Ὡ῾ς ἁγιάσματος σκεῦος, ἐκ τοῦ τάφου ᾧ κατέκειτο, ἡ ἁγία σορός σου ἀνεκομίσθη, τὴν εὐωδίαν τῆς χάριτος ἀποπνέουσα, Ἀμφιλόχιε μακάριε· νῦν δὲ ἐν λάρνακι τιμίᾳ ἀποκειμένη, ἐξ αὐτῆς ἡμῖν ἀναπηγάζει, τὰς δωρεὰς τῶν θαυμάτων σου. Ὅθεν αὐτὴν περικυκλοῦντες, ὡς ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς, τοὺς ὕμνους σοι προσφέρομεν, καὶ ἱκετικῶς ἀναβοῶμεν· Πρέσβευε, Πάτερ, τῷ Χριστῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὁ αὐτός.

Τὸ φυτευθὲν ἐν Κρανίου τόπῳ ξύλον τῆς ὄντως ζωῆς, ἐν ᾧ εἰργάσατο σωτηρίαν ὁ τῶν αἰώνων Βασιλεύς, ἐν μέσῳ τῆς γῆς, ὑψούμενον σήμερον, ἁγιάζει τοῦ κόσμου τὰ πέρατα, καὶ ἐγκαινίζεται τῆς Ἀναστάσεως ὁ οἶκος· ἀγάλλονται Ἄγγελοι ἐν οὐρανῷ, καὶ εὐφραίνονται ἄνθρωποι ἐπὶ τῆς γῆς, δαυϊτικῶς βοῶντες καὶ λέγοντες· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν ὁ παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ′ καὶ στ′ Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ιζ′ Ἰανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Κρήνη ἀνεδείχθη ἁγιασμοῦ, λειψάνων σου θείων, Ἀμφιλόχιε ἡ σορός, ἐξ ἧς ἀναβλύζων, μὴ παύσῃ τῶν θαυμάτων, τὰ νάματα ἀφθόνως, τοῖς προσπελάζουσιν.

*Στίχοι.*
*Ἀμφιλόχιε, ἐκ λειψάνων σου χάριν,*
*Δίδου ἄφθονον, τῷ τῆς Ῥόδου Κυρίλλῳ.*